ΣΗΛΥΒΡΙΑ. Ἐν —

ΚΑΤΑΣΑΜΠΑΣ

Γ. Ξιφιλίνου:

Πατριαρχικαὶ Διαγνώσεις ΙΔ'

Δελτίον Ἱστορικῆς Ἐθνολογικῆς Ἑταιρείας Ἑλλάδος τ. Γ' 1889? σ. 414

Μαρία ἡ τοῦ Κατασάμπα θυγάτηρ ἐν Σηλυβρίᾳ 1192 μ.Χ. ἣν ἔζευξε ὁ αὐτοκράτωρ ἐν διαγνώσει Γ. Ξιφιλίνου

Α

ΙΔ αδ.

## ΣΗΛΥΒΡΙΑΣ

Εἰκάζω ἐπὶ τῆς Πατριαρχείας Καλλίστου τοῦ Α΄ ἢ Φιλοθέου Α΄.

Πατμιακῆς Βιβλιοθήκης ΤΞϚ΄ τεῦχος φ. 1-71
Συνοδικαὶ Διαγνώσεις τῆς ΙΔ΄ Ἑκατονταετηρίδος
ὑπὸ
Ι. Σακκελίωνος
ἐν Δελτίου Ἱστορικῆς καὶ Ἐθνολογικῆς Ἱστορίας τῆς Ἑλλάδος τ. Γ΄. 1889 σ. 414-416

Μαρία ἡ τοῦ Κατασάμπα θυγάτηρ, παραστᾶσα τῇ ἡμῶν
μετριότητι προκαθημένῃ συνοδικῶς, ἔγκλησιν ἐποιήσατο
κατὰ τοῦ ἀνδρὸς αὐτῆς, τοῦ Κοντοστεφάνου, καὶ ἀνέφερεν,
ὡς πρὸ χρόνων τινῶν ἔσχεν ὑποψίαν κατ' αὐτῆς ἀθέμιτον
πάλην καὶ παράδοξον κατά τινος ἱερέως· καὶ ἐν μιᾷ τῶν
ἡμερῶν οἰκονομηθείσης αὐτῆς καὶ εἰς τὴν ἐκκλησίαν
ἀπελθούσης ὥστε μεταλαβεῖν τῶν ζωοποιῶν τοῦ Χριστοῦ
μυστηρίων, αὐτὸς εἰσελθὼν καὶ ὄχλησιν οὐκ ὀλίγην
ποιήσας, ἔπαισε μὲν καὶ τὸν ἱερέα μαχαίρᾳ, ἐβούλετο δὲ
καὶ αὐτὴν κατασφάξαι· μετὰ σπουδῆς δὲ διαδρᾶσα μόλις
τὸν κίνδυνον ἐξέφυγε· καὶ πολλάκις πολλῶν παραινεσάν-
των αὐτὸν εἰρηνεῦσαι μετ' αὐτῆς, καὶ τοῦ χρηματίσαντος πρὸ
ἡμῶν πατριάρχου, καὶ τοῦ ἱερωτάτου μητροπολίτου Σηλυβρίας, καὶ τοῦ
πατρὸς αὐτῆς, καὶ ἄλλων πολλῶν, οὐδόλως ἠθέλησεν εἰρηνεῦσαι. Καὶ ἕως
μὲν καὶ αὐτὸς οὕτως ἐκάθητο, ὑπέμενε καὶ αὐτὴ προσδοκοῦσα τὴν αὐτοῦ διόρ-
θωσιν καὶ εἰρήνην. Ἐπεὶ δὲ ἄλλην ἔλαβε γυναῖκα διὰ σταυρικοῦ δικαίου,
πάλιν καὶ αὐτὴ κινεῖ τὸν περὶ τούτου λόγον, συνοδικῶς ζητοῦσα τὸν ἄνδρα
αὐτῆς. Διακινηθεὶς δὲ καὶ ὁ Κοντοστέφανος καὶ παραγενόμενος, ἀπολογήσα-
σθαι προστραπείς, ἀνέφερεν, ὡς ἀπόντος αὐτοῦ ἐν τῷ Φαιδελῷ, αὐτὴ ὡμίλει μετὰ
τοῦ ῥηθέντος ἱερέως, καὶ συνήσθιεν αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτῆς· ἐπανελθὼν δὲ
καὶ τοῦτο μαθὼν ὄχλησιν ἐποίησεν οὐκ ὀλίγην. Ὡς δὲ οὐκ ἐπαύσατο πάλιν τὰ
αὐτὰ ποιοῦσα, ἠπείλησε μὲν καὶ τὸν ἱερέα τὰ δεινότατα δράσειν, εἰ μὴ παύσαι-
το μετὰ τῆς αὐτοῦ γυναικὸς ὁμιλῶν· παρήγγειλε δὲ καὶ αὐτῇ μετὰ πληγῶν καὶ
ἀπειλῶν μήτε ἰδεῖν αὐτὸν πλέον, μήτε εἰς τὴν ἐκκλησίαν αὐτοῦ εἰσελ-
θεῖν. Ἡ δὲ οὐδ' οὕτως ἐπαύσατο, ἀλλὰ συχνῶς ἀπήρχετο εἰς τὴν ἐκκλησί-
αν καὶ ὡμίλει μετ' αὐτοῦ. Ὅθεν καὶ ἀγανακτήσας αὐτός, ὡς εἶδεν αὐτὴν ἐν
μιᾷ τῶν ἡμερῶν ἀπελθοῦσαν ἐκεῖ, ἀπελθὼν εὗρεν αὐτὴν μετὰ τοῦ ἱερέως μόνην,
κρατοῦντος εἰς τὰς ἀγκάλας αὐτοῦ. Τότε γοῦν καὶ τὴν ὄχλησιν ἐποίησε,
καὶ τὸν ἱερέα ἔκρουσε, καὶ ἐξ ἐκείνου διέστη ἀπ' αὐτῆς, ἐξετασθείσης τῆς ὑπο-
θέσεως καὶ παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Σηλυβρίας καὶ τῶν τοπικῶν
ἀρχόντων, καὶ διαζυγίου γράμματος γεγονότος. Ταῦτα εἰπὼν καὶ τὰ γράμματα ἐμ-
φανίσας, ἀναγνωσθέντα οὐδεμίαν ἔχοντα ἰσχὺν ἢ αἰτίαν εὔλογον διαζεύξεως· τοῦτο δὲ
μόνον ἔδοξε καλὸν συνοδικῶς τῇ ἡμῶν μετριότητι, ἀποδεῖξαι τὸν Κοντοστέφανον

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

διὰ μαρτύρων, ὅτι παρήγγειλε τῇ γυναικὶ μηδέποτε μετὰ τοῦ ἱερέως ὁμιλῆσαι, καὶ ὅτι μετὰ τὴν παραγγελίαν ἐποίει τοῦτο. Ἐν τούτοις τούτων τῆς ὑποθέσεως ἐπεφάνιζεν ἡ γυνὴ γράμμα ἐμμαρτύριον πολλῶν ἀνθρώπων τοπικῶν ἀπὸ τῆς Σηλυβρίας, λεγόντων διαβάλλεσθαι αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς. Ἐδόκει οὖν ὁ Κουτουλίφανος ἐρωτηθῆναι, ὅτι προβάλλεται μάρτυρας αὐτῇ, καὶ ὅπερ ἂν ὑπόσχοι ἔχειν τὸ δίκαιον· καὶ ἐπεὶ πάλαι ἐνταῦθα παραγενέσθαι ἀδυνατοῦσιν, ἐξελέξαντο τρεῖς καὶ ἦλθον προτροπῇ τῆς ἡμῶν μετριότητος, ὅ τε δομέστικος ὁ Πατζαρᾶς, Μανουὴλ τοῦ Μακοῦ γαμβρός, καὶ ὁ Γαλατινός· οἳ καὶ ἐρωτηθέντες μετὰ βάρους ἀφορισμοῦ εἶπον ὅσα γινώσκουσι περὶ τῆς ὑποθέσεως, ἤγουν ὅτι, ἀπελθὼν ὁ Κουτουλίφανος ἐν τῇ οἰκίᾳ αὐτοῦ, εὗρεν ἐκεῖ τὸν ἱερέα μετὰ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐποίησεν ὄχλησιν, καὶ ἠπείλησε καὶ τὸν ἱερέα, καὶ παρήγγειλε καὶ τὴν γυναῖκα αὐτοῦ μηδέποτε ἰδεῖν αὐτὸν καὶ ὁμιλῆσαι, μηδὲ εἰς τὴν ἐκκλησίαν ἀπελθεῖν ἐκείνην. Ἡ δὲ διὰ παντὸς τὰ αὐτὰ ἐποίει, καὶ εἰς τὴν ἐκκλησίαν ἀπήρχετο, καὶ μετ' ἐκείνου ὡμίλει· καὶ τελευταῖον ὁ Κουτουλίφανος ἀπελθὼν εὗρεν αὐτοὺς κεκλεισμένους ἐν τῷ ναῷ, ὅτε καὶ τὴν πολλὴν ἐποίησεν ὄχλησιν καὶ τὸν ἱερέα μαχαιρίῳ ἔπαισε. Τούτων οὕτω παρηκολουθηκότων, ἡ μετριότης ἡμῶν συνδιασκεψαμένη τοῖς συνεδριάζουσιν αὐτῇ ἱερωτάτοις ἀρχιερεῦσι καὶ ὑπερτίμοις, τῷ Ἡρακλείας, τῷ Ἀναστασιουπόλεως, καὶ τῷ Αἴνου, διέγνω καὶ ἀπεφήνατο. Ἐπεὶ ἀπεδείχθη παρὰ τῶν μαρτύρων, οὓς αὐτὴ προεβάλετο, ὡς παρηγγέλθη μηδὲ ἰδεῖν τὸν ἱερέα, μηδὲ εἰς τὸν ναὸν ἀπελθεῖν ἐκείνου· ἡ δὲ καὶ μετὰ τὴν παραγγελίαν τὰ αὐτὰ ἐποίει· οὐ μὴν ἀλλὰ καὶ οἱ φιλευσεβεῖς νόμοι, ἐὰν ἡ γυνὴ παρὰ γνώμην τοῦ ἀνδρὸς ξένοις ἀνδράσι συνεσθίῃ καὶ συμποσιάζῃ, ἄδειαν ἔχειν τὸν ἄνδρα διαζεύγνυσθαι ταύτης, διὰ τὰς αἰτίας ταύτας διεζευγμένον εἶναι καὶ τοῦτο τὸ συνοικέσιον, καὶ ἔχειν αὐτὸν [illegible] ἔλαβε γυναῖκα διὰ [illegible], μηδεμίαν ἄδειαν ἐχούσης τῆς ποτὲ γυναικὸς αὐτοῦ δι' ὄχλου τοῦτον [γρ. ἴσ. τούτῳ] γενέσθαι περὶ τῆς ὑποθέσεως ταύτης. Τούτου χάριν ἀπολέλυται καὶ ἡ παροῦσα Συνοδικὴ Διάγνωσις καὶ ἀπόφασις τῆς ἡμῶν μετριότητος δι' ἀσφάλειαν. Μηνὶ Ἀπριλλίῳ ἰνδικτιῶνος έ. +

| Ἐκ τοῦ αὐτ. κώδικος |
| --- |
| Αὐτόθι σ. 274 |

Ἡ κατὰ πνεῦμα θυγάτηρ τῆς ἡμῶν μετριότητος ἐπιτροπίσσαινα κυρὰ Ἄννα ἡ Λασκαρίνα ἀνήνεγκε τῇ ἡμῶν μετριότητι ἐπιστᾶσα τῇ καθ' ἡμᾶς ἱερᾷ συνοδικῇ διασκέψει, ὡς πρό τινων ἤδη χρόνων ἔφθασε καὶ δέδωκε παρακαταθήκης λόγῳ πρὸς

(ἀκολουθεῖ)

τὸν Κοντοστέφανον ἐκεῖνον, κατὰ γένος αὐτῇ προσῳκειωμένον,
ἐπιστήθιον ἐγκόσμιον ἀργυροδιάχρυσον κεκοσμημένον.
ἐκείνου δὲ κατὰ πόλεμον ἔργον μαχαίρας γεγενημένου, καὶ
ταύτης δὴ τῆς Κοντοστεφανίνης κηροτόμον περιλη-
φθείσης ἁπάσης τῆς καθευρεθείσης ἐκείνῳ
περιουσίας, ὅτι ζητοῦσα ἀπολαβεῖν παρ' αὐτῆς τὴν οἰκείαν
σπάθην ἡ Λασκαρῖνα εὑρίσκει ὅτι μὲν εἰς ταύτην,
ὅτι δὲ εἰς ἐκείνην τὴν πρόφασιν χωροῦσαν,
ἐδεήθη τῆς ἡμῶν μετριότητος συνοδικῶς ἀντικαταστῆναι
αὐτῇ. Καὶ δὴ συμπαραγενομένης καὶ ταύτης,
ἀνεγράφη καὶ ἀποδέδεικται ἀριδήλως, ὅτι ταῖς ἀλη-
θείαις εἰς παρακαταθήκην εὑρίσκετο παρ' ἐκείνῳ δὴ τῷ
Κοντοστεφάνῳ τὸ οἰκεῖον πρᾶγμα τῆς Λασκαρίνης,
καὶ τοῦτο μάλιστα ἐκδηλότερον, ὅτι καὶ ἐν τῷ καιρῷ
τῆς μάχης ἐπεφέρετο ταύτην ὁ Κοντοστέφανος, ἥτις καὶ
ἀφαιρεθείσης παρὰ τῶν ἐχθρῶν, ἐνεφανίσθη εἰς τὸ Διδυ-
μότειχον, καὶ πολλοὶ ἐκεῖ τῶν συνήθων γνωρίσαντες
ταύτην, ἠναγκάσθησαν αὐτὴν ἐξωνήσασθαι, καὶ
οὐκ ἠδυνήθησαν. Ἀντιλεγούσης δὲ τῆς Κοντοστεφανίνης
καὶ λαλούσης μηδεμίαν εἴδησιν ἔχειν εἰς τοῦτο,
ἐμαρτύρετο ἐρωτηθεὶς ὁ μοναχὸς Ἰωαννίκιος, ὡς μετὰ
τῶν ἄλλων ἐκείνου δὴ τοῦ Κοντοστεφάνου πραγμάτων
εἶδεν αὐτόθι καὶ τὴν σπάθην καὶ παραλειφθεῖσαν χάριν
παρακαταθήκης τῷ Κοντοστεφάνῳ. Τὰ αὐτὰ δὲ ἐμαρτύρετο
καὶ ὁ ἀπὸ τῶν ἐκεῖσε εὑρισκόμενος πρεσβύτερος καὶ ξενικός.
Τῆς γοῦν ὑποθέσεως παρακολουθησάσης, δίκαιον ἔδοξε τῇ ἡμῶν
μετριότητι καὶ τοῖς περὶ αὐτὴν ἱερωτάτοις ἀρχιερεῦσι, τῷ Βιζύης,
τῷ Χριστουπόλεως, τῷ Βρύσεως, τῷ Ἀλανίας, τῷ Χριστιανουπόλεως
καὶ τῷ Ῥωσίου, ἵνα, ἐπεὶ ἡ Κοντοστεφανῖνα μετὰ τὸν τοῦ ἀνδρὸς
θάνατον κυρία καὶ κληρονόμος κατέστη πάντων τῶν καθευ-
ρεθέντων ἐκείνῳ πραγμάτων, ἀνεφάνη δὲ καὶ ἀποδέδεικται

ταῖς ἀληθείαις [ὅτι] παρακαταθήκη ἦν, καθὼς μεμαρτύρηκας
ἡ σπάθη, παρὰ τῶν ἀνωτέρω δηλωθέντων, ἀποδώσῃ ὁ Κοντο-
στεφανίτα ἀλογοπραγήτως πρὸς τὴν Λασκαρίναν τὸ σκεῦος
πρᾶγμα καὶ μὴ χρῆσθαι ἐπιπλέον εἰς καταδυναστείαν· ἀποδώσῃ
δὲ τοῦτο καθὼς ἀναφανῇ ἀπὸ εἰδημόνων καὶ ἀξιοπίστων
ἀνδρῶν τὸ τίμημα τοῦ τοιούτου σπαθίου. Τὸ γὰρ εἰς κατα-
δυναστείας ἐπιπλέον, καὶ εἰς μέγιστα ψυχικὰ κατά-
κριμα φλαβαίνει τῷ Κοντοστεφάνῳ ἐκείνῳ. Ὅθεν καὶ
ὤφειλε γενέσθαι καὶ ἀποπληρωθῆναι κατὰ τὴν συνοδικὴν
ταύτην καὶ ἡμετέραν διάγνωσιν, γέγονεν αὕτη καὶ
ἐπιδοθεῖσα τῷ μέρει τῆς δηλωθείσης Λασκαρίνης
κυρᾶς Ἄννης εἰς παντελῆ ἀνενοχλησίαν καὶ ἀσφάλειαν.
Μηνὶ Ἰουλίῳ ἰνδικτιῶνος ..... (1)

(1) Ἐξεγράφη ἡ ἰνδικτιών, ἀπὸ τοῦ βιβλιοδέτου βαθύτερον
τὴν κοπίδα κατενεχθείσης